BA ἀδελφοῖς μου καὶ τῷ ἔθνει τοῖς συμπορευθεῖσιν μετ᾽ ἐμοῦ εἰς χώ-
ραν Ἀσσυρίων εἰς Νινευη. 4καὶ ὅτε ἤμην ἐν τῇ χώρᾳ μου ἐν 4
τῇ γῇ Ισραηλ, νεωτέρου μου ὄντος, πᾶσα φυλὴ τοῦ Νεφθαλιμ τοῦ
πατρός μου ἀπέστη ἀπὸ τοῦ οἴκου Ιεροσολύμων τῆς ἐκλεγείσης
ἀπὸ πασῶν τῶν φυλῶν Ισραηλ εἰς τὸ θυσιάζειν πάσας τὰς φυλάς·
καὶ ἡγιάσθη ὁ ναὸς τῆς κατασκηνώσεως τοῦ ὑψίστου καὶ ᾠκοδο-
μήθη εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος. 5καὶ πᾶσαι αἱ φυλαὶ αἱ 5
συναποστᾶσαι ἔθυον τῇ Βααλ τῇ δαμάλει καὶ ὁ οἶκος Νεφθαλιμ
τοῦ πατρός μου. 6κἀγὼ μόνος ἐπορευόμην πλεονάκις εἰς Ιεροσό- 6
λυμα ἐν ταῖς ἑορταῖς, καθὼς γέγραπται παντὶ τῷ Ισραηλ ἐν προσ-
τάγματι αἰωνίῳ, τὰς ἀπαρχὰς καὶ τὰς δεκάτας τῶν γενημάτων καὶ
τὰς πρωτοκουρίας ἔχων· 7καὶ ἐδίδουν αὐτὰς τοῖς ἱερεῦσιν τοῖς 7
υἱοῖς Ααρων πρὸς τὸ θυσιαστήριον πάντων τῶν γενημάτων· τὴν
δεκάτην ἐδίδουν τοῖς υἱοῖς Λευι τοῖς θεραπεύουσιν ἐν Ιερουσα-
λημ. καὶ τὴν δευτέραν δεκάτην ἀπεπρατιζόμην καὶ ἐπορευόμην

3 εθνει] + μου A | συμπορευθεισιν] προπορ. B†, -ρευομενοις A† || 5 νεφθαλιμ] pr. του A† || 6 πρωτοκουριας] προκ. B$^{r}$†, -κυρ- A† || 7 αυτας] -τα A | παντων των] των των (sic) B*† | εν 1$^{0}$ V] εις B†, > A

---

S ἀδελφοῖς μου καὶ τῷ ἔθνει μου τοῖς πορευθεῖσιν μετ᾽ ἐμοῦ ἐν
τῇ αἰχμαλωσίᾳ εἰς τὴν χώραν τῶν Ἀσσυρίων εἰς Νινευη. 4καὶ 4
ὅτε ἤμην ἐν τῇ χώρᾳ μου ἐν γῇ Ισραηλ καὶ ὅτε ἤμην νέος, πᾶσα
ἡ φυλὴ Νεφθαλιμ τοῦ πατρός μου ἀπέστησαν ἀπὸ τοῦ οἴκου Δαυιδ
τοῦ πατρός μου καὶ ἀπὸ Ιερουσαλημ πόλεως τῆς ⟨ἐκλεγείσης⟩ ἐκ
πασῶν φυλῶν Ισραηλ εἰς τὸ θυσιάζειν πάσαις φυλαῖς Ισραηλ· καὶ
ἡγιάσθη ὁ ναὸς τῆς κατασκηνώσεως τοῦ θεοῦ καὶ ᾠκοδομήθη ἐν
αὐτῇ εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος. 5πάντες οἱ ἀδελφοί μου 5
καὶ ὁ οἶκος Νεφθαλιμ τοῦ πατρός μου, ἐθυσίαζον ἐκεῖνοι τῷ μόσχῳ,
ὃν ἐποίησεν Ιεροβεαμ ὁ βασιλεὺς Ισραηλ ἐν Δαν, ἐπὶ πάντων ὀρέων
τῆς Γαλιλαίας. 6κἀγὼ μονώτατος ἐπορευόμην πολλάκις εἰς Ιεροσό- 6
λυμα ἐν ταῖς ἑορταῖς, καθὼς γέγραπται ἐν παντὶ Ισραηλ ἐν προσ-
τάγματι αἰωνίῳ· τὰς ἀπαρχὰς καὶ τὰ πρωτογενήματα καὶ τὰς δε-
κάτας τῶν κτηνῶν καὶ τὰς πρωτοκουρίας τῶν προβάτων ἔχων
ἀπέτρεχον εἰς Ιεροσόλυμα 7καὶ ἐδίδουν αὐτὰ τοῖς ἱερεῦσιν τοῖς 7
υἱοῖς Ααρων πρὸς τὸ θυσιαστήριον καὶ τὴν δεκάτην τοῦ σίτου καὶ
τοῦ οἴνου καὶ ἐλαίου καὶ ῥοῶν καὶ τῶν σύκων καὶ τῶν λοιπῶν ἀκρο-
δρύων τοῖς υἱοῖς Λευι τοῖς θεραπεύουσιν ἐν Ιερουσαλημ. καὶ τὴν δεκά-
την τὴν δευτέραν ἀπεδεκάτιζον ἀργυρίῳ τῶν ἓξ ἐτῶν καὶ ἐπορευόμην

4 ⟨εκλεγεισης⟩ add. Fr. || 5 ιεροβεαμ: sic cod. || 6 πρωτοκουριας Ra.] ι > S || 7 σιτου ... οινου] tr. S* | ελαιων S* | και των συκων > S* | θεραπευουσιν Ra.] ευ > S